BISETVS. Σ' ὦ ῥμίδιον.] τὸ πλῆρες, σε ὦ Ἑρμίδιον.

CHR. Ὦ 'ρμίδιον.] Per ὑποκόρισμα pro ὦ Ἑρμίδιον. sed quod ait εἰπέ μοι, malim μὴ, pro μὴ εἴπῃ, vel vt cogat eum negare se Ioui indicaturum, Dic tantum Non. Alludit autem post in finalibus syllabis cùm ait Ἑρμῆ μηδαμῶς μὴ μηδαμῶς, omnino ad mouendum risum. Tamen ferri potest τό μοι, vt alloquatur chorum. Teleclides autem vt initio diximus dixit, ὦ δέσποθ' Ἑρμῆ κάπηλε τῶν θυλημάτων.

Σχόλια. Εἰπέ μοι.] ὁ Τρυγαῖος πρὸς τὸν χορὸν στραφεὶς ταῦτα λέγει. τὰ τοιαῦτα εἴδη καλεῖται ἑτερόστροφα, καὶ εἰσὶ στίχων καὶ κώλων ιζ, ὧν οἱ πρῶτοι δύο καὶ ὁ τῆς στροφῆς α'. τροχαϊκοὶ τετράμετροι ἀκατάληκτοι. τὸ δὲ παιωνικὸν δίμετρον καταληκτικόν. ὁ γ' παιωνικὸς τετράμετρος ἀκατάληκτος ὁ δὲ καὶ ὁ ἑξῆς καὶ οἱ α' τῆς δευτέρας στροφῆς ὅμοιοι τῷ πρώτῳ. τὰ δ' ἄλλα παιωνικὰ δίρρυθμα. ἐπὶ τῇ ἀποθέσει παράγραφος. ἐπὶ δὲ τῷ τελευταίῳ κώλῳ, δέσποτ' ἀγλαοῦμεν ἀεὶ δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. Ὦ πόνηροι.] ὦ ἐπίμοχθοι. ἐπιτιμᾷ δὲ αὐτοῖς, ὡς νῦν σιωπῶσι, δέον αὐτοὺς ἐν καιρῷ λαλεῖν. Εἴτι κεχαρισμένον.] παρὰ τὸ Ὁμηρικόν. εἴποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα. Τοῦτο μὴ φαῦλον.] μὴ εὐτελὲς νομίζων τὸν χοιρίδιον τυχεῖν ἐν τῷ λαβεῖν ἡμᾶς τὴν εἰρήνην. Μὴ γίγνου παλίγκοτος.] ἀντὶ τοῦ ἐναντίος. μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς πάλιν καὶ μεταγνώσης, ἐφ' οἷς ἡμᾶς εὐεργετῆσαι προθυμηθεὶς καὶ διανοῇ. Εἴτι Πεισανδρῳ.] ἴσως εἰρωνεύεται. ἐπὶ δειλίᾳ γὰρ ἐσκώπτετο παρὰ πολλοῖς. Ἀγαλοῦμεν ἡμεῖς ἀεί.] ὅτι περισσὸν τὸ ἀεί, ἤρκει γὰρ εἰπεῖν διαπαντός. ἀγαλοῦμεν δὲ

A ἐπικοσμήσομεν. ἴσως δὲ ταυτολογία ἐχρήσατο, τὴν ἀείμνηστον εὐεργεσίαν δεῖξαι θέλων.

CHR. Εἰπέ μοι.] Qui sequuntur versus septem & decem sunt de genere ἑτεροστρόφων, Tres priores Trochaici sunt Tetrametri Acatalectici, Quartus Pęonicus dimeter Catalecticus. Quintus Pæonicus tetrameter Acatalect. Hi faciunt primam Stropham. Altera stropha constat ex tribus Tetrametris trochaicis Acatalect. Cæteri sunt

B Pæonici δίρρυθμοι. Nos versus versibus reddidimus, & numeris numeros, elegantiam tantùm abdidimus. Ὦ πονηροί] Hîc τὸ πονηρόν, est ἐπίμοχθον, ærumnosum. Castigat autem ipsos rusticos, vel spectatores potius qui tacebant quo tempore loquendum. Εἴτι κεχαρισμένον.] Ex Homero εἴποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα. Est autem istud commemoratio beneficij, vel potius exprobratio, vt ait comicus Afer Latinę dictionis eligentissimus. Τοῦτο μὴ φαῦλον.] Versum hunc oportet esse primo huius strophæ similem, id est, Tetrametrum Tro-

C chaicum integrum, sed claudicat tamen: vt fulciatur legerem, ἐν γε τῷδε πράγματι. Sic & versu proximum sequente legerem ἀντιβολοῦσ' ἡμῖν γε. Ἀγαλοῦμεν ἀεί.] Videtur Scholiastes legisse superius ἀγλαοῦμεν, sed ἀγάλλειν melius, est enim ornare & mactare laudibus, quanquam vna vtrique originatio, sed traijciuntur sæpe litteræ. Vsus autem est ταυτολογίᾳ, cùm ait ἀεί, dixerat enim διὰ παντός, sed voluit fortassis ostendere beneficium memorabile, neque intermoriturum.

D

ΣΥΣΤΗΜΑ ἕτερον κατὰ περικοπὴν ἐκ στίχων κς'.

Τρ. Ἴθ' ἀντιβολάσ' ἐλέησον αὐτῶν τὴν ὄπα,
Ἐπεί σε καὶ τιμῶσι μᾶλλον ἢ πρὸ τοῦ.
Ἑρ. Κλέπτουσι γὰρ εἰσι νῦν γε μᾶλλον ἢ πρὸ τοῦ.
Τρ. Καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα,
Ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.
Ἑρ. Ἴθι δὴ κάτειπ', ἴσως γὰρ ἀναπείσαις ἐμέ.
Τρ. Ἡ γὰρ σελήνη χ' ὡ πανοῦργος ἥλιος,
Ὑμῖν ἐπιβουλεύοντε πολὺν ἤδη χρόνον,
Τοῖς βαρβάροισι προδίδοτον τὴν Ἑλλάδα.
Ἑρ. Ἵνα τί δὴ τοῦτο δρᾶτον; Τρ. Ὅτι νὴ Δία.
Ἡμεῖς μὲν ὑμῖν θύομεν, τούτοισι δὲ
Οἱ βάρβαροι θύουσι. διὰ τοῦτ' εἰκότως,
Βούλοιντ' ἂν ὑμᾶς πάντας ἐξολωλέναι,
Ἵνα τὰς τελετὰς λάβοιεν αὐτοὶ τῶν θεῶν.
Ἑρ. Ταῦτ' ἄρα πάλαι τῶν ἡμερῶν παρεκλεπτέτον,

*TRY.* Miserare eorum verba supplicia obsecro,
*Nam te colunt plus quàm solebant antidhac.*
E *MER. Furaciores nempe sunt quàm erant prius.*
*TRY. At ponderis rem maximi dicam tibi,*
*Omnes statuta quæ grauis contra Deos.*
*MER. Age expedi, sis forsitan persuaseris.*
*TRY. Nam Luna iampridem atque sol nefarius*
*consilia vestrum moliuntur in caput,*
F *Qui Græciam omnem prodiderunt barbaris.*
*MER. Quianam ista faciunt? TR. quòd solemus per Iouem*
*Litare vobis subq; placare, ijs solent*
*Voluntq; barbari: inde iure postulant*
*Omnes semel nos funditus perbitere;*
*Quò nempe sacra cælitum cedant sibi.*
G *MER. Ergo dierum hinc illa diminutio,*

Σχόλια. Ἴθ' ἀντιβολῶ σε.] σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς ἐκ στίχων ἰαμβείων κς'. ἐπὶ τῷ τέλει παράγραφος. Ἐλέησον αὐτῶν τὴν ὄπα.] ἀντὶ τοῦ ποιητικώτερον αὐτῶν τὰς εὐχὰς καὶ τὰς λιτάς. καὶ ἐπάκουσον ἡμῶν ὦ φιλανθρωπότατε. Κλέπτουσι γὰρ νῦν εἰσιν] παρ' ὑπόνοιαν. ἐπαίζει δὲ ὡς τοῦ Ἑρμοῦ χαίροντος τῇ κλοπῇ. οὕτως γοῦν προ-